www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Λογγίνον τὸν ἑκατόνταρχον

Ἦχος δ'

Ἅγιον Ὅρος

2018

*Ἱλαρίωνος Μοναχοῦ*

# Κανὼν εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Λογγίνον τὸν ἑκατόνταρχον, οὗ ἡ ἀκροστιχίς, «Λογγίνῳ τῷ ἑκατοντάρχῳ ὕμνος», ἐν δὲ τοῖς Θεοτοκίοις «Ἱλαρίων Μ.»

**Ἦχος δ΄.**

*Ὠιδὴ Α΄ Ἀνοίξω τὸ στόμα μου.*

Λογγίνῳ τῷ μάρτυρι ἐφιεμένῳ μοι δώρησαι, συνθέσθαι τὴν χάριν σου, ᾠδὴν πανέορτον, τῷ κηρύξαντι, σταυρῷ σε κρεμαμένῳ Σωτήρ μου φιλάνθρωπε, ὡς τοῦ Θεοῦ σε Υἱόν.

Ὁρῶν σε κρεμάμενον, ὁ ἑκατόνταρχος Κύριε, ἐν ξύλῳ ἀνέκραζε, σὺ εἶ τοῦ σύμπαντος, μόνος Κύριος, καὶ συνοχεύς, καὶ κτίστης, καὶ πάσχεις τὸν ἄνθρωπον σῶσαι βουλόμενος.

Γηθόμενος ἔσπευδες, ἐκχέαι μάρτυς τὸ αἷμά σου, Λογγίνε πανένδοξε, διὰ Χριστὸν τὸν Θεόν, τὸν κενώσαντα, ἐπὶ Σταυροῦ τὸ αἷμα, αὐτοῦ τὸ πανάγιον ὡς πολυεύσπλαγχνος.

*Θεοτοκίον.*

Ἰδοῦσα τὸν Κύριον, ἐπὶ Σταυροῦ Παναμώμητε, κρεμάμενον ἔλεγες, Υἱὲ παμφίλτατε, ἀκατάληπτός ἐστιν ἡ

εὐσπλαγχνία, δι᾽ ἧς τὸ ἀνθρώπινον σώζεις φιλάνθρωπε.

*Ὠιδὴ Γ΄ Τοὺς σοὺς ὑμνολόγους.*

Γυμνὸν ἐν σταυρῷ Λογγίνε μάρτυς, ὁρῶν τὸν τοῖς ἄνθεσι τὴν γῆν, περικοσμοῦντα ἅπασαν, τῷ θάμβει συνεχόμενος, τῇ ἀνεκφράστῳ δόξα σοι, συγκαταβάσει ἀνέμελπες.

Ἰδὼν ἀθλοφόρε τὸν Δεσπότην, σαρκὶ νεκρωθέντα τοῦ παντός, γενναιοφρόνως ἔσπευσας, καὶ πίστει παμμακάριστε, μαρτυρικῶς τὸν δρόμον σου, τελέσαι ἀγαλλιώμενος.

Νυγείσης τῇ λόγχῃ ἀθλοφόρε, πλευρᾶς τοῦ Κυρίου Ἰησοῦ, τῷ πρὸς αὐτὸν θεσπέσιε, ἀκραιφνεστάτῳ ἔρωτι, ἐνύγης τὴν καρδίαν σου, δι᾽ ὃν Λογγίνε καὶ ἤθλησας.

*Θεοτοκίον.*

Λιβάδας δακρύων Θεοτόκε, θρηνοῦσα ἐξέχεας πικρῶς, ἐν τῷ σταυρῷ κρεμάμενον, ὁρῶσα ὅνπερ ἔτεκες, ἐν τῷ σπηλαίῳ ἄνευθεν, ὀδύνων Κόρη πανάφθορε.

*Ὠιδὴ Δ΄ Τὴν ἀνεξιχνίαστον.*

Ὢ δεινῆς πωρώσεως τοῦ Ἰσραήλ, ὢ ἀγνωμοσύνης ἀνέκραζες, ὁρῶν Λογγίνε, ὑποτρέμουσαν τὴν γῆν, καὶ περικαλυπτόμενον, ζόφῳ πυκνοτάτῳ τὸν ἥλιον.

Τῶν ἐπικειμένων σοι ἀνιαρῶν, τῆς συναγωγῆς κατεφρόνησας, τῶν Ἰουδαίων, καὶ Χριστὸν ἐκ τῶν νεκρῶν, ἐξαναστάντι ἅπαντι, ἀθλητὰ τῷ κόσμῳ ἐκήρυξας.

Ὡς ἄλλος ἀπόστολος ἐκ τῆς Σιών, τοῦ Κυρίου μάκαρ ἐπέδραμες, τῇ οἰκουμένῃ, τὸν Χριστὸν εἶναι καὶ Θεόν, κηρύττων ἀξιάγαστε, δι᾽ ὃν καὶ προθύμως ἐνήθλησας.

*Θεοτοκίον.*

Ἄπνουν Μητροπάρθενε τὸν σὸν Υἱόν, καθορῶσα στένουσα ἔλεγες, φίλτατον τέκνον, τῆς ζωῆς ὁ χορηγός, ἐν τοῖς νεκροῖς λελόγισαι, ἀναστῆσαι θέλων τὸν ἄνθρωπον.

*Ὠιδὴ Ε᾽ Ἐξέστη τὰ σύμπαντα.*

Ἐξίστατο ἅπασα, ἡ κτίσις ἐν τῷ πάθει σου, Σῶτερ καὶ τῷ φόβῳ ἠλλοιοῦτο, ὁ δὲ πανένδοξος ἑκατόνταρχος, πίστει ἀνεβόα ἐμφανῶς, σὺ ὡς ὄντως πέφυκας, ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Πατρός.

Κηρύττων ἐξέδραμες, τὸν σταυρωθέντα Κύριον, μάρτυς ὡς Θεὸν σαρκὶ παθόντα,

κλεινὲ Λογγίνε, διὰ τὸν ἄνθρωπον, ἐκπεπτωκότα ἐν Ἐδέμ, πάλαι διὰ βρώσεως, συμβουλίᾳ τοῦ ὄφεως.

Ἀγάπης ὡς πρότυπον ἐνδέδειξαι μακάριε, δείξας σεαυτὸν τοῖς σὲ ζητοῦσι, καὶ φονευταῖς σου οἷσπερ προσήνεγκας, ὡς τοῦ σοῦ Δεσπότου μιμητής, φιλανθρωπευόμενος, τῶν ξενίων τὰ πρόσφορα.

*Θεοτοκίον.*

Ῥοαῖς τῶν δακρύων σου, ἐκχέουσα ἀνέκραζες, Κόρη ἐν σταυρῷ παρισταμένη, τί ὦ Υἱέ μου σοὶ ἀνταπέδωκε, δῆμος ὁ παράνομος ἀνθ' ὧν, παρὰ σοῦ ἀπείληφε, τῷ ἀπείρῳ ἐλέει σου.

*Ὠιδὴ ΣΤ΄ Τὴν θείαν ταύτην.*

Τοῖς ῥείθροις μάρτυς ἐφοίνιξας, Λογγίνε σεαυτὸν τῶν αἱμάτων σου, ὅθεν ἀπείληφας, δόξης τὸν ἄφθαρτον στέφανον, παρὰ Χριστοῦ τοῦ πάντων Θεοῦ μακάριε.

Ὀργὴν ἐχθρῶν ἀκατάσχετον, φονώντων παρ' οὐδὲν λογισάμενος, ὁ ἑκατόνταρχος, τῆς ἀναστάσεως γέγονε, τοῦ σαρκωθέντος κῆρυξ ὁ διαπρύσιος.

Νεκρὸν τὸν ζῶντα μακάριε, Λογγίνε ἐν σταυρῷ θεασάμενος, ὡς ἀληθῶς ἐστιν, Υἱὸς

Θεοῦ ἀνεβόησας, δι᾽ ὃν σφαγιασθῆναι προείλου πάνσοφε.

*Θεοτοκίον.*

Ἰδοῦσα Κόρη κρεμάμενον, ἐν ξύλῳ τὸν Υἱόν σου ἐκραύγαζες αὐτῷ δακρύουσα, παθῶν λυτρῶσαι βουλόμενος, τὸν ἄνθρωπον τοῖς πάθεσι προσωμίλησας.

*Ὠιδὴ Ζ΄ Οὐκ ἐλάτρευσαν.*

Τελειούμενος Λογγίνε ἀξιΰμνητε, καὶ ἀγαλλόμενος, τῷ σῷ Δεσπότῃ Χριστῷ, ἀνέμελπες ἔνδοξε, παίδων τὴν αἴνεσιν, ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητός εἶ.

Ἀπολύτρωσαι κινδύνων ταῖς πρεσβείαις σου, τοὺς σὲ γεραίροντας, καὶ ἀνυμνοῦντας πιστῶς, μαρτύρων τὸ ἔρεισμα, καὶ ἐγκαλλώπισμα, καὶ ἑδραίωμα, τῆς Ἐκκλησίας ἄσειστον, καὶ προπύργιον καὶ φύλαξ.

Ῥοῦν ἀνάστειλον, τῶν κακοδόξων ἔναγχος, ἀνοίας ῥήματα, ἐκμελετώντων καινά, Λογγίνε τρισόλβιε, ταῖς ἱκεσίαις σου, πρὸς τὸν Κύριον, ὡς αὐτοῦ εὐκλεέστατος, ἀθλητὴς καὶ στεφανίτης.

*Θεοτοκίον.*

Ὢ τοῦ θαύματος, ἡ Θεοτόκος ἔλεγεν, ὁρῶσα πάθεσι, προσομιλοῦντα σαρκί, Υἱὸν ὃν συνέλαβε, καὶ ἀπεκύησε, πάθους ἄνευθεν, ὅπως παθῶν τὴν βρότειον, φιλανθρώπως φύσιν σώσῃ.

*Ὠιδὴ Η΄ Παῖδας εὐαγεῖς.*

Χαίρων ἀθλοφόρε ὑπεδέξω, δημίων σου γενναιόφρον τὴν ἐπέλευσιν, προσεπιδειξάμενος, ὡς τοῦ σοῦ μακάριε, Δεσπότου δοῦλος γνήσιος, ἀγάπης ἔνδειξιν, τὸν Κύριον ἐβόας ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὥραν τῆς ἐνδόξου ἐφιστᾶσαν, Λογγίνε μαρτυρικῆς σου τελειώσεως, καθορῶν τὴν ἄφεσιν, τῷ Χριστῷ ἐπηύχεσο, τοῖς φονευταῖς δωρήσασθαι καὶ ἀπολύτρωσιν, κινδύνων ἐκ παντοίων καὶ βλάβης, τοῖς ἐν πίστει μάρτυς σὲ ἐπικαλουμένοις.

Ὕμνοις τοῖς τελοῦσί σου τὴν μνήμην, Λογγίνε στεφανηφόρων τὸ ἀγλάϊσμα, ἀεννάως πρέσβευε, τῷ Χριστῷ τῶν θλίψεων, καὶ πειρασμῶν τοῖς δούλοις σου, λύτρωσιν δοῦναι ἡμῖν, καὶ ἄφεσιν πληθύος πταισμάτων, ὡς αὐτοῦ γενναῖος τρισμάκαρ στρατιώτης.

*Θεοτοκίον.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Νόμων μητρικῶν Παρθενομῆτορ, χωρὶς τὸν ἐκ τοῦ Πατρὸς Λόγον ἐκλάμψαντα, τέτοκας εἰς λύτρωσιν, τῆς ἀνθρώπων φύσεως, ὃν ἐν Σταυρῷ κρεμάμενον, θεασαμένη Ἁγνή, μακρόθυμε ὑμνῶ σε ἐβόας, καὶ ὑπερυψῶ σε εἰς πάντας τοὺς αἰῶνας.

*Ὠιδὴ Θ΄ Ἅπας γηγενής.*

Μνήμην τὴν σεπτήν, συμφώνως τελέσωμεν, τοῦ θείου μάρτυρος, πάντες οἱ χριστώνυμοι, φαιδρῶς ἐν ὕμνοις τοῦτον γεραίροντες, καὶ ἐν ἐνθέοις ᾄσμασιν ἐγκωμιάζοντες, καὶ βοῶντες ἐν τῇ γῇ ὁ Κύριος, τοὺς ἁγίους αὐτοῦ ἐθαυμάστωσε.

Νίκης ἀθλητά, στεφάνοις κεκόσμησαι Λογγίνε ἔνδοξε, ἐκτομῇ τῆς κάρας σου, καὶ πρὸς ἁγίων σκηνὰς ἐχώρησας, διὸ νῦν παριστάμενος Χριστῷ τῷ πάντων Θεῷ, ἀεὶ τοῦτον, δοῦναι καθικέτευε, τὰ ἐλέη αὐτοῦ τοῖς ὑμνοῦσί σε.

Ὅση μοι μικρόν, Λογγίνε τρισένδοξε ἐνοῦσα δύναμις, ὕμνον συνεθέμην σοι, ἄμουσον πάνυ ἀλλ᾽ εὐμενέστατα, τοῦτον ἀποδεχόμενος τῆς μεταγνώσεως, τῷ Σωτῆρι πρέσβευε δωρήσασθαι, λογισμὸν ὡς οἰκτίρμων καὶ εὔσπλαγχνος.

Σὺν τοῖς Σεραφίμ, τὸ ἅγιος, ἅγιος, ἅγιος Κύριος, πίστει ἀναμέλπομεν, Πατὴρ ὁ ἄναρχος καὶ ἀγέννητος, ὁ Λόγος ὁ συνάναρχος, καὶ

γεννητὸς ἐκ Πατρός, πρὸ αἰώνων, καὶ Πνεῦμα τὸ Ἅγιον τὸ ὁμόθρονον καὶ ὁμοούσιον.

*Θεοτοκίον.*

Μήτηρ ἀληθῶς, Παρθένε γεγένησαι τοῦ Παντοκράτορος, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ πάντων Μήτηρ Ὄρος τὸ Ἅγιον, τῶν ἐνοικούντων Δέσποινα καὶ ἀπειλὴ κατ' ἐχθρῶν, καὶ προστάτις τούτων ἀκαταίσχυντος, καὶ λιμὴν σωτηρίας ἀκύμαντος.

*Προσόμοια.*

*Ὡς γενναῖον ἐν μάρτυσι. Ἦχος δ'.*

Ἐν Σταυρῷ θεασάμενος, τῶν Χριστὸν καθηλούμενον, καὶ τῆς γῆς δονούμενα τὰ θεμέλια, καὶ τῆς γῆς δονούμενα τὰ θεμέλια, καὶ ἀμαυρούμενον ἥλιον, καὶ τὸ καταπέτασμα τοῦ Ναοῦ διαρραγέν, καὶ νεκρῶν ἐξανάστασιν ἀνεκραύγαζε, ὁ κλεινὸς ἑκατόνταρχος ὡς ὄντως, τοῦ Θεοῦ Υἱὸς ὑπάρχει, ὁ ἐπὶ ξύλου κρεμάμενος.

Τῆς ἐνδόξου μακάριε, ἀναστάσεως γέγονας, θεατὴς καὶ ἔνθεος, κῆρυξ πάνσοφε, καθάπερ ἄλλος Ἀπόστολος, Χριστὸν τὸν Θεάνθρωπον, ἐξαγγείλας ἐν σαρκί, πεπονθότα βουλόμενον, ἀνασώσασθαι, τὸν Ἀδὰμ ἐν Ἐδὲμ πρὶν πεπτωκότα, καὶ μαρτύρων ἀνεδείχθης, γενναιοφρόνως ἐφάμιλλος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Διὰ ξίφους τὸν δρόμον σου, ἐκτελέσας ἀνέδραμες, πρὸς τὰ ἐπουράνια τρισμακάριστε, μάρτυς Λογγίνε σκηνώματα, ἐν οἷς ἀγαλλόμενος, σὺν μαρτύρων τοῖς χοροῖς, τὸν Χριστὸν καθικέτευε τοῦ δωρήσασθαι, τὴν εἰρήνην αὐτοῦ τῇ Ἐκκλησίᾳ, καὶ ἀσφάλειαν καὶ νίκην, κατ' ἐναντίων τῆς πίστεως.

Οὐρανίων Δυνάμεων, αἱ χορεῖαι Πανάχραντε, Προφητῶν οἱ σύλλογοι, τὰ συστήματα, τῶν Ἀποστόλων καὶ ἅπαντα, Μαρτύρων στρατεύματα, καὶ Ὁσίων ἡ πληθύς, καὶ Δικαίων τὰ ἄμετρα, νέφη Δέσποινα, ὡς Θεοῦ σε Μητέρα προσκυνοῦσι, ἐπαξίως καὶ ἐν ὕμνοις, διαπαντὸς μεγαλύνουσι.